eul_wid: hps-bh

*Μένανδρος ὁ Ἀθηναῖος* · Menander of Athens

# Misumenus

## *Μισούμενος*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κωμῳδία Ἀττική* Attic Comedy
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

a1 (ΘΡΑΣΩΝΙΔΗΣ)
a1 ὦ Νύξ—σὺ γὰρ δὴ πλεῖστον Ἀφροδίτης μέρος
a2 μετέχεις θεῶν, ἐν σοί τε περὶ τούτων λό[γοι
a3 [ ]νται φροντίδες τ’ ἐρωτικαί—
a4 Ἄπολλον, ἀνθρώπων τιν’ ἀθλιώτερον
a5 ἑόρακας; ἆρ’ ἐρῶντα δυσποτμώτερον;
a6 πρὸς ταῖς ἐμαυτοῦ νῦν θύραις ἕστηκ’ ἐγώ,
a7 [ ]νω· περιπατῶ τ’ ἄνω κάτω
a8 [ ]εχω νῦν μεσούσης σου σχεδόν,
a9 ἐξὸν καθεύδειν τήν τ’ ἐρωμένην ἔχειν.
a10 παρ’ ἐμοὶ γάρ ἐστιν ἔνδον ἔξεστίν τε μοι
a11 καὶ βούλομαι τοῦθ’ ὡς ἂν ἐμμανέστατα
a12 ἐρῶν τις, οὐ ποιῶ δ’· ὑπαιθρί[ωι] δέ μοι
a13 περίπατος οὗ]τός ἐστιν αἱρετώτερος
a14 [ ]μοντι καὶ λαλοῦντί σοι
a15 [ ]ενον· οὐκ ἀγν[οῶ] μὰ τοὺς θεούς
a16 [ ]νεστιν·. [
6 γ]εγενημένον
8.1 δέσποτα
8.2 ]σιων, Γέτα
12 ] ἀνεωγμένον
15.1 ].ας εἰ δέ τις
15.2 ]α..ηχέν γε μοι
15.3 ἐκεί]νης γράμματα
15.4 δε]ῦρ’ ἄγω

15.5 ] τί βούλεται;

20.1 ]νην τὴν θύραν

20.2 ]ν οἰκίαν

20.3 ].ος γὰρ ἂν κόψαντί σοι

20.4 ]ηγ’ ἕστηκ’ ἐγώ

20.5 ]’: ουτοσει ξένε

25.1 ἐκεί]νου γράμματα

25.2 ]δο.τι...λαβε

25.3 ]ρανω ξένε

25.4 [.]...η..ἡ̣μέρας

25.5 ]..αινον σ〈π〉άθας

30.1 [ ] οὐκ ἔχω λέγειν.

30.2 [ ]μεθα· ποδαπὸς εἶ, ξένε;

30.3 [ΔΗΜΕΑΣ]

32 ἐγώ; παρὰ [Κύπρου.

32.1 [Α] σώματ]’ οὖν λυτρούμενος

32.2 ἥκεις συ[ ;]

33.1 (Δη) μὰ τὸν Ἀ]πόλλω ’γὼ μὲν οὔ,

33.2 ἀλλ’ ἕνεκα [ ].τος γενομένης

35 ζητοῦσι μ[]..νύεται. αὕτη δὲ π[]φήις;

36.1 (?Α) τοῦτό μοι

36.2 συμπρᾶξ[ον.]μαι τόδε, γέρον,

36.3 ἄλλοις πα[ἰ]χνεύων πάλιν

36.4 ἐὰν δ’ ἀμ[]νη

39 ‵—′

40 σωτὴρ κ[

40.1 ‵—′

40.2 τί τοὔνομ[

41.1 ‵—′

41.2 Κράτειαν [

42.1 ‵—′

42.2 ἐστιν π.[

43.1 ‵—′

43.2 οὗτος γὰρ .[

44 ‵—′

45.1 ὦ Ζεῦ τροπ[αῖε

45.2 ἀπροσδόκ[ητον

65 μὰ Δία τὰ του[

65.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

‵—′
65.2 τρο.[..] δύ’ ἑκατέρωθε[
66.1 ‵—′
66.2 καὶ τοῦτο φοβερὸν ἐκπ[
67.1 ‵—′
67.2 φέρ’ εἰς τὸ πρόσθε μοι γε.[
67.3 εἰς τὴν ὁδόν. γελοῖον ε[
70 εἴσω λαβόντα· τουτονὶ δ.[
70.1 ‵—′
70.2 ἀλλ’ εὐθὺς αὐτῶι τὴν α.[
70.3 ὅπου ’στι μηδὲ τόνδ’ ἐα[
70.4 πόει τὸ σαυτοῦ πρῶτον [
70.5 καλῶς· ἐγὼ δὲ συνβρα[
74 ‵—′
75 πῶς οὖν; : [..]ωτατην [
75.1 ‵—′
75.2 εὕροιμεν ἀναπαύσαντ[
75.3 ἀλλ’ εὖ παθὼν .. χάριν [
75.4 αὐτὴν γυναῖκα π[..]δρ[
78 (vv. 79—93 ualde laceri sunt. quot tum desint uersus ignotum)
78.1 [ΧΟΡΟΥ]
78.2 (vv. 101—31 ualde laceri sunt)
132.1 ἱκετηρίαν· τί λέγους’; : ἐμοὶ μαχεῖ, τάλαν; : μὰ Δί’ ἀλλ’ ἐκει[ν..], φ[..]ι, δεινὸν γὰρ βίον
132.2 ζῆι καὶ ταλαίπωρόν τιν’: οὐ γάρ; : μακάριον
135.1 αὕτη [τί] καὶ ζηλωτὸν ὄνθ’—οὕτω [τ]ι[ς] ἦν—
135.2 [..]της; 〈:〉 ἄ[μει]νον οἶδε τά γ’ ἑαυτῆ[ς τιν]ος
135.3 τοῦτ’ ε[]τουτονί.
135.4 [] τὸ καθήμενον.
135.5 τί τοῦτο; τοῦτο τίς ποτ’ ἐστίν; : ἔστι γὰρ
140.1 παρά τινος οὗτος ὁ ψιθυρισμός, οἶδ’ ἐγώ.
140.2 ἀπαλλάγηθ’· ἐν[
140.3 tum uersus xviii laceri inter quos haec uerba restant:
146 δακ]τύλιον.[
149.1 θαἰμάτ[ι]α[ ἔπειτα προσ[
149.2 τὴν γῆν κροτοῦσαν κα[ὶ
149.3 σπείσονθ’ ... τρεπω[
149.4 ἔσ]τιν [το]ιαῦθ’· [ἱκε]τηρίων [
155.1 ὃ] καὶ θεοὶ θέλ[οιεν.]. ΡΥ ἀπίω[μεν] θύρας
155.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(?ΓΕΤΑΣ)
κατέλειπον. ἦις’ ἄνθρω[πος .....] παχ[ὺς
τὴν ὄψιν ὗς ἄνθρωπ[ος
τὰ γύναι’ ἵν’ ἔξωθεν θεωρε[ῖν
ἆρ’ οὗτός ἐστι δοῦλος καὶ λυω[
ἦισέν ποτ’ αὐτῶν θάτερος σα[....]ε[
τὸν ἄνδρα .... γάρ. ὦ πολυτίμητοι θεοί,
ἐπὶ πᾶσιν [ὄν]τως, τοῦτο δὴ τὸ τοῦ λόγου,
πίνων δικαίοις ἦισεν ἀνθρώπων [
ἀγαθὸν ἄκουσμ’ ἥκεις πρὸς ἡμᾶς· ἀλλὰ τί [ ]κάμπτεις καὶ πάλιν στέλλει διδοὺς
τὰς συμβολὰς εἰ μή τι κακὸν ἡμᾶς ποεῖς;
λῆρος. κελεύσω τοῦτον ἐπὶ δεῖπνον πάλιν
τὸν δεσπότην καλέσαντα; φανερῶς ἐστι γὰρ
[ β]αδιοῦμ’ εἴσω δὲ καὶ πειράσομαι
[ ]ν ἐμαυτὸν ἐπιθεωρῆσαί τι τῶν
ποιουμέ]νων ἔνδον λαλουμένων θ’ ἅμα.
(ΓΡΑΥΣ)
ἀτοπώ]τερον τούτου, μὰ τὼ θεώ, ξένον
οὐπώπο]τ’ εἶδον. αἲ τάλας, τί βούλεται;
ἐν τῶι γὰ]ρ οἴκωι τὰς σπάθας τῶν γειτόνων
[ α]ὐτὰς εἰς μέσον
[ πο]λὺν χρόνον
[ ]εν ταύτ[ας φρ]άσαι
[ ]ων εἰ βούλεται
[ ]αλλα[
[Δη] δεῖξο[ν].
Γρ αυτ.σθησ[
[ ].μι..ις.
Δη καλῶς
[] ἐγώ
[Γρ] []ειδον.
Δη ἀν[..]ρ[.]υ
[ ] τὴν θύραν κόψασά μοι.
(Γρ) αὐτὸς μὲν οὖν σὺ] κόπτε· τί μ’ ἐνοχλεῖς, τάλαν;
[ λά]β’· ἀποτρέχω. δέδειχά σοι
[ ἐ]κκάλει καὶ διαλέγου
[?Δη] [ ]: ὢν τυγχάνω
[ ] τὴν ἐμὴν ταύτην ὁρῶ:

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(?Γρ) [ κ]όψει τὴν θύραν· κόψας δ’ ἔτι

194b [ ]σα.ην ἔγωγέ φη[μι….]θ’. ως

195 (uersus x male laceri)

204 ἐνθύμιόν μοι τοῦτο γέγονεν ἀρτίως

205.1 (uersus lacer)

205.2 π]ρὸς [….]τω· παῖ, παῖδες. ἐπανάξω· ψοφεῖ

205.3 αὐτῶν προιών τις εἰς τὸ πρ[όσθεν τὴν θύραν.

205.4 ΓΥΝΗ ΚΡΑΤΕΙΑ

208.1 οὐκ ἂν δυναίμην καρτερεῖν [

208.2 τ[ό]τ’ ἐ[…]νον. τί ταῦτ[

210.1 Δη ὦ Ζεῦ, τίν’ ὄψιν οὐδὲ προσδοκωμένην

210.2 ὁρῶ;

211.1 (Κρ) τί βούλει, τηθία; τί μοι λαλεῖς;

211.2 πατὴρ ἐμός; ποῦ;

212 (Δη) παιδίον Κράτεια.

212.1 (Κρ) τίς

212.2 καλεῖ με; πάππα· χαῖρε πολλά, φίλτατε.

212.3 (Δη) ἔχω σε, τέκνον.

214 (Κρ) ὢ ποθούμενος φανείς,

215.1 ὁρῶ ς’ ὃν οὐκ ἂν ὠιόμην ἰδεῖν ἔτι.

215.2 Γε ἐξῆλθεν ἔξω. παῖ, τί τοῦθ’; αὕτη τί σοι,

215.3 ἄνθρωπε; τί ποεῖς οὗτος; οὐκ ἐγὼ ’λεγον;

215.4 ἐπ’ αὐτοφώρωι τόνδε τὸν ζητούμενον

215.5 ἔχω. γέρων οὗτός γε πολιὸς φαίνεται,

220.1 ἐτῶν τις ἑξήκονθ’, ὅμως δὲ κλαύσεται.

220.2 τίνα περιβάλλειν καὶ φιλεῖν οὗτος [δοκεῖς;

220.3 Κρ οὑμὸς πατήρ, Γέτα, π[

220.4 [Γε] οὕτω γελοῖος· οὐ[

220.5 τίς εἶ; πόθεν θ’[

225.1 Δη αὐτὸς πορε[υθεὶς

225.2 ταύτης.

226.1 (Γε) ἀληθῶς.[

226.2 ὅδ’ ἐστιν ὁ γέρων;

227.1 (?) λαμ[

227.2 [Γε] τί τοῦτο; καὶ σύ, γράιδιο[ν,

227.3 καλεῖς. πόθεν, βέλτιστε, [

230 οἴκοθεν;

230 Δη ἐβουλόμην ἄν.

230.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Γε ἀλλ[ὰ τ]υγχάνεις
230.2 ἀπόδημος ὢν ἐκεῖθεν;
231.1 Δη ἐκ Κύπρου παρὼν
231.2 ἐνταῦθα πρῶτον τῶν ἐμῶν ταύτην ὁρῶ.
231.3 καὶ δῆλον ὡς ἔσπαρκε τῶν οἴκοι τινὰς
231.4 ὁ κοινὸς ἐχθρὸς πόλεμος ἄλλον ἀλλαχῆ.
235.1 Γε ἔχει γὰρ οὕτως· αἰχμάλωτος γενομένη
235.2 αὕτη πρὸς ἡμᾶς ἦλθε τοῦτον τὸν τρόπον.
235.3 δραμὼν δέ σοι τὸ δεσπότην ἤδη καλῶ.
235.4 [ ] Δη οὕτω πόει.
235.5 (uersus vi male laceri)
245.1 [ ]ημεν: οτετηλ[
245.2 εἰ] δ’ οὐκ[έτ’ ἐ]στι τίς λέγει σοι τὸν λόγον;
245.3 [Δη] [ ] ἀπόλωλα.
247.1 (Κρ) οἴμοι τάλαινα τῆς ἐμῆς
247.2 ἐγὼ τύχης· ὡς οἰκτρά, πάππα φίλτατε,
247.3 πεπόνθαμεν. τέθνηκε.
249.1 Δη ὑφ’ οὗ γ’ ἥκιστ’ ἐχρῆν. [Κρ] οἶσθας σὺ τοῦτον; [Δη] οἶδα· καὶ συν.[ [?Κρ] ἁλοῦσ’ ἅμιλλα [τ’] οὖσα τοῦ [
249.2 [Δη] διὰ τί, Κράτεια, φ[.]ρ[
249.3 [?Κρ] ὁ τοῦτο πράξας ἑ[
249.4 (Κρ) ἀλλά, πάτερ, ε[ ]α
255.1 ἅπαντ’ ἀ[.....]υκ[
255.2 βουλευτέον νῦν ἐστιν· ἀλληκα[.]εδ[
255.3 ἔ]ζην· ..πρέπει μετ[
255.4 [?Δη] ὢ τοῦ παραδόξου καὶ ταλαιπώρου [βίου.
255.5 ΘΡΑΣΩΝΙΔΗΣ
259 πατὴρ Κρατείας, φήις, ἐλήλυθ’ [
260.1 νῦν ἢ μακάριον ἢ τρισαθλιώτατον
260.2 δείξεις με τῶν ζώντων ἁπάντων γεγονότα.
260.3 εἰ μὴ γὰρ οὗτος δοκιμάσει με, κυρίως
260.4 δώσει τε ταύτην, οἴχεται Θρασωνίδης·
260.5 ὃ μὴ γένοιτ’. ἀλλ’ εἰσίωμεν· οὐκέτι
265.1 τὸ τοιοῦτον εἰκάζειν γάρ, εἰδέναι δὲ δεῖ
265.2 ἡμᾶς. ὀκνηρῶς καὶ τρέμων εἰσέρχομαι.
265.3 μαντεύεθ’ ἡ ψυχή τι μου, Γέτα, κακόν.
265.4 δέδοικα. βέλτιον δ’ ἁπαξάπ[αντα τ]ῆς
265.5 οἰήσεως πως. ταῦτα θαυμάσαιμι δ’ ἄν.
270 ΚΛΕΙΝΙΑΣ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ξένος ἐστὶν εἷς, μάγειρε, κἀγὼ καὶ τρίτη
ἐμή τις, εἴπερ νὴ Δί’ εἰσελήλυθεν.
ἀγωνιῶ γὰρ καὐτός. εἰ δὲ μή, μόνος
ὁ ξένος· ἐγὼ γὰρ περιδραμοῦμαι τὴν πόλιν
ζητῶν ἐκείνην πᾶσαν. ἀλλὰ πάραγε [σὺ
καὶ τοῦ ταχέως, μάγειρε, φρόντισον πάνυ.
ΧΟΡΟΥ
Κλ τί φῄς; ἐπιγνοὺς τὴν σπάθην τὴν κειμένην
ἔνδον παρ’ ἡμῖν ᾤχεθ’ ὡς τοὺς γείτονας
τούτων ἀκούσας οὖσαν αὐτήν; πηνίκα
ἔθεντο δ’ οὗτοι δεῦρο ταύτην ἢ τίνος
ἕνεκα πρὸς ἡμᾶς, γραῦ; [......]ων[
μόνης τι λήψεων [
εὔδηλος εἶ. ψοφεῖν [δὲ προ]ϊὼν φαίνεται
αὐτῶν τις, ὥστε πάντ’ ἀκούσομαι σαφῶς.
Γε ὦ Ζεῦ πολυτίμητ’, ὠμότητος ἐκτόπου
ἀμφοῖν ἀπανθρώπου τε, νὴ τὸν Ἥλιον.
(Κλ) ξένος τις εἰσελήλυθ’ ἀρτίως, Γέτα,
ἐνθάδε πρὸς ὑμᾶς;
Γε Ἡράκλεις, αὐθαδίας
[ ἀν]θρώπου λαβεῖν
γυναικ[
Κλ του]τὶ λάβω;
(Γε) φ[
Κλ Δημέας
[
Γε ]ος οὐδὲ γρῦ
[ ]σα· καὶ γάρ, Δημέα,
[ ]αὐτὸς, [ὡς] ὁρᾶις, ἐγώ,
σὺ δ’ εἶ πατ]ὴρ 〈καὶ〉 κύριος.” ταυτὶ λέγει
[ ]α κλάων, ἀντιβολῶν. ὄνος λύρας.
(Κλ) συμπεριπατήσω καὐτὸς ὡς ἐμοὶ δοκῶ.
Γε ἓν τοῦτο δ’ εἴρει· “τὴν ἐμαυτοῦ ς’ ἀξιῶ
ἥκων ἀπολυτροῦν ὢν πατήρ.” “ἐγὼ δέ γε αἰτῶ γυναῖκα ς’ ἐντετυχηκώς, Δημέα”. Κλ ἔνδον μέν ἐσθ’ ἄνθρωπος εἰσεληλυθώς·
τοὔνομα λέγει γὰρ οὑτοσὶ τὸν Δημέαν.
(Γε) ὦ Ἡράκλεις· ἀνθρωπίνως ἂν οὐ λάβοι
τὸ συμβεβηκός; ὗς ὄρει, τὸ τοῦ λόγου.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλλ’ οὐχὶ τοῦτο δεινόν, ἀλλ’ αὕτη πάλιν
305.1 ἀ[φορ]ᾶι λέγοντος “ἀντιβολῶ, Κράτεια, σέ,
305.2 μή μ’ ἐγκαταλίπηις· παρθένον ς’ εἴληφ’ ἐγώ,
305.3 ἀνὴρ ἐκλήθην πρῶτος, ἠγάπησά σε,
305.4 ἀγαπῶ, φιλῶ, Κράτεια φιλτάτη· τί σοι
305.5 λυπηρόν ἐστι τῶν παρ’ ἐμοί; τεθνηκότα
310.1 πεύσει μ’ ἐάν μ’ ἐγκαταλίπηις.” οὐδ’ ἀπόκρισις.
310.2 (Κλ) τί ποτ’ ἐστὶ τὸ κακόν;
311.1 Γε βάρβαρος, λέαινά τις
311.2 αν[
312.1 Κλ οὐ]χ ὁρᾶις με, κακόδαιμον, πάλαι;
312.2 ἀπροσδόκητον.
313.1 (Γε) οὐχ ὑγιαίνει παντελῶς.
313.2 ἐγὼ μὲν [αὐτήν], μὰ τὸν Ἀπόλλω τουτονί,
315.1 οὐκ ἂν ἀπέλυς’. Ἑλληνικὸν καὶ πανταχ[οῦ
315.2 γινόμενον ἴσμεν. ἀλλ’ ἐλεεῖν ὀρθῶς ἔχει
315.3 τὸν ἀντελεοῦνθ’. ὅταν δὲ μηδ’ ὑμεῖς ἐμέ,
315.4 οὐδὲ λόγον ὑμῶν οὐδ’ ἐπιστροφὴν ἔχω.
315.5 οὐ[κ ἔστι] σοι; τί δ’; οὐθὲν ἄτοπον, ὡς ἐγὼ
320.1 δο.. βοήσεται δὲ καὶ βουλεύσεται
320.2 κ[τ]ανεῖν ἑαυτὸν στάς· βλέπει δὲ πῦρ ἅμα
320.3 ου.....κει.αι δράττεταί 〈τε〉 τῶν τριχῶν. Κλ ἄνθρωπε, κατακόψεις με.
323.1 Γε χαῖρε, Κλεινία.
323.2 π[όθεν πάρ]εσθ’;
324 Κλ οὑμός τι θορυβεῖν φαίνεται
325 [ ἐ]λθών [ ] ὁ ξένος
325.1 (uersus laceri xxxiv)
325.2 [ΘΡΑΣΩΝΙΔΗΣ]
360.1 ἔστω στ[έγ]ειν με καὶ λί[θο]ν ψυχὴν φ[έρειν
360.2 ποιεῖν τ’ ἄδηλον τοῖς συνοῦσι τὴν νόσον
361.1 τίνα
361.2 τρόπον [..]θε.[..τ]οῦτο καὶ [....] φέρω;
361.3 ἀπαμφιεῖ γὰρ τὸ κατάπλαστον τοῦτό μου
361.4 καὶ λανθάνειν βουλόμενον ἡ μέθη ποτέ.
365 (uersus laceri xxiv)
388.1 τί φῄς; πέπονθας ἀγάθ’; ὑπὲρ ταύτης λαλεῖς;
388.2 [.].ε....ἐμοὶ ταυ[........].υτον μοι λέγε.
390.1 εἰ] δ’ ἦν ἀτύχημα, τοῦτ’ ἐλε[ ] ψέγω
390.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὐκοῦν ἔνεστι [
ταύτην ἀπολαβεῖν [ πολλ]αχοῦ
οὕτως ἔχει· πρόσθεν γε [
τὸ ζῆν ἀφήσεις; ἀλλ’ ἐρ[
οἴκτωι τὸ μισοῦν ὡς σεαυτὸ[ν
καὶ τίς ὁ βίος σοι; ποῦ τότ’ η[
ἐπίσημον, εἴ τι [
πλεονεξία τοῦτ’ ἐ[
ἴσως ἰταμὸς εἶ· τότε λογισμ[όν εὔψυχος α[..]ρως ζῆς [
ὄνειδος αὕτη τοῦτο [
ἀθάνατον εὖ παθοῦσα [
τὸν τἀγάθ’ αὐτῆι δόντα· πῶς [οὖ]ν ἐ[σ]τί μοι [
(quot desint uersus ignoratur)
ΧΟΡΟΥ
οὐκέτι [
Θρασω[νιδ
τιτανα[
καλῶς [
οὐ παιδ[
ζηλοτυπ[ο
ἃ νῦν λε[γ
εἰς τοὖρ[γον
διακοσι[
νὴ Δία, τ[
ἀναγε[
Γε ἀπὸ τῆς θύρας, ἄνθρ[ωπε
[?Θρα] [
φαίνει γὰρ ἀγαθὸν ν[
(Γε) διδόασί σοι γυναῖκα ..[
προσευξάμην [
οὕτως ἀγαθὸν γέ[νοιτο
(Θρα) οὐκ ἐξαπατᾶις δὲ [
πῶς εἶπεν;
(Γε) Ἡρ[άκλεις
(Θρα) τὰ ῥήματ’ αὐτά μοι [
λέγων τάχα τρέχει [
(Γε) ἔλεγεν “θυγάτριον [
“ναί”, φησι, “πάππα, βούλ[ομαι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἤκους’· ἃ δ’ ἤκουσα .ε[
440.2 ἔκπλεα γελῶσά γ’ ηπ[
440.3 (Θρα) ἀγαθὰ λέγεις.
442.1 (Γε) εφ.δ...[ τὴν θύραν
442.2 ψοφεῖ τις αὐτῶν.
443.1 Δη πρ[
443.2 [Θρα] καλῶς ποῶν.
444 (Δη) παίδ[ων ἐπ’ ἀρότωι γνησίων
445.1 δίδωμι τὴν ἐμὴν θυγ[ατέρα
445.2 καὶ δύο τάλαντα προῖκα [
445.3 [Θρα]
447.1 μόνον ἀπόδος..δ[
447.2 πάντας γὰρ ἀντ[
447.3 ἀπὸ ταὐτομάτου [ δεῖπνον ξένια κ[
447.4 ἀλλ’ εἰσί[ωμεν
447.5 (uersus laceri vi)
458.1 εἶ[ἐ]ν, μετέμελ’ αὐτ[
458.2 παιδάριον, ἅψας δᾶι[δα
460.1 στεφάνους τ’ ἔ[χ]οντε[ς
460.2 καὶ μηδέπω δεῖπν[
460.3 προσμείνατ’ ἐπ.[
460.4 ὑμᾶς [..........]· μ[
460.5 ἄνδρες πρεπόντως πά[ντες ἐπικροτήσατε·
465 ἡ δ’ εὐπάτειρα φιλόγελώς τε παρθένος Νίκη μεθ’ ἡμῶν εὐμενὴς ἕποιτ’ ἀεί.

Eulogikon public reading copy · View original HTML at eulogikon.org